ὁμοίως δὲ καὶ περὶ ἀσθένειαν καὶ αἶσχος, καὶ πήρωσιν· οὐδεὶς γὰρ ἂν ὀνειδίσειε τυφλῷ φύσει, ἢ ἐκ νόσου, ἢ ἐκ πληγῆς· ἀλλὰ μᾶλλον ἐλεήσαι· τῷ δ' ἐξ οἰνοφλυγίας, ἢ ἄλλης ἀκολασίας, πᾶς ἂν ἐπιτιμήσαι. τῶν δὴ περὶ τὸ σῶμα κακιῶν, αἱ μὲν ἐφ' ἡμῖν, ἐπιτιμῶνται· αἱ δὲ μὴ ἐφ' ἡμῖν, οὔ. εἰ δ' οὕτω, καὶ ἐπὶ τῶν ἄλλων αἱ ἐπιτιμώμεναι τῶν κακιῶν, ἐφ' ἡμῖν ἂν εἶεν. εἰ δέ τις λέγοι ὅτι πάντες ἐφίενται τοῦ φαινομένου ἀγαθοῦ, τῆς δὲ φαντασίας οὐ κύριοι, ἀλλ' ὁποῖός ποθ' ἕκαστός ἐστι, τοιοῦτο καὶ τὸ τέλος φαίνεται αὐτῷ· εἰ μὲν οὖν ἕκαστος ἑαυτῷ τῆς ἕξεώς ἐστί πως αἴτιος, καὶ τῆς φαντασίας ἔσται πως αὐτὸς αἴτιος· εἰ δὲ μηδεὶς αὑτῷ αἴτιος τοῦ κακὰ ποιεῖν, ἀλλὰ δι' ἄγνοιαν τοῦ τέλους ταῦτα πράττει, διὰ τούτων οἰόμενος αὑτῷ τὸ ἄριστον ἔσεσθαι· ἡ δὲ τοῦ τέλους ἔφεσις, οὐκ αὐθαίρετος, ἀλλὰ φῦναι δεῖ, ὥσπερ ὄψιν ἔχοντα, ᾗ κρινεῖ καλῶς, καὶ τὸ κατ' ἀλήθειαν ἀγαθὸν αἱρήσεται. καὶ ἔστιν εὐφυής, ᾧ τοῦτο καλῶς πέφυκε· τὸ γὰρ μέγιστον, καὶ κάλλιστον, καὶ ὃ παρ' ἑτέρου μὴ οἷόν τε λαβεῖν, μηδὲ μαθεῖν, ἀλλ' οἷον ἔφυ, τοιοῦτον ἕξει· καὶ τὸ εὖ καὶ τὸ καλῶς τοῦτο πεφυκέναι, ἡ τελεία καὶ ἀληθινὴ ἂν εἴη εὐφυΐα. εἰ δὴ ταῦτ' ἐστὶν ἀληθῆ, τί μᾶλλον ἡ ἀρετὴ τῆς κακίας ἔσται ἑκούσιον; ἀμφοῖν γὰρ ὁμοίως, τῷ ἀγαθῷ, καὶ τῷ κακῷ, τὸ τέλος φύσει, ἢ ὁπωσδήποτε φαίνεται καὶ κεῖται· τὰ δὲ λοιπὰ πρὸς τοῦτ' ἀναφέροντες, πράττουσιν, ὁπωσδήποτε. εἴτε δὴ τὸ τέλος μὴ φύσει ἑκάστῳ φαίνεται οἱονδήποτε, ἀλλά τι καὶ παρ' αὐτό ἐστιν· εἴτε, τὸ μὲν τέλος φυσικὸν, τὸ δὲ τὰ λοιπὰ πράττειν ἑκουσίως τὸν σπουδαῖον, ἡ ἀρετὴ ἑκούσιόν ἐστιν, οὐθὲν ἧττον καὶ ἡ κακία ἑκούσιον ἂν εἴη· ὁμοίως γὰρ καὶ τῷ κακῷ ὑπάρχει τὸ δι' αὐτὸν ἐν ταῖς πράξεσι· καὶ εἰ μὴ, ἐν τῷ τέλει. εἰ οὖν ὥσπερ λέγεται, ἑκούσιοί εἰσιν αἱ ἀρεταί· καὶ γὰρ τῶν ἕξεων συναίτιοί πως αὐτοί ἐσμεν· καὶ τῷ ποιοί τινες εἶναι, τὸ τέλος τοιόνδε τιθέμεθα· καὶ αἱ κακίαι ἑκούσιοι ἂν εἶεν· ὁμοίως γάρ.

A pitudo vel ex infirmitate, vel ex membri alicuius mutilatione contigerit, nullus enim ei, qui vel natura, vel ex morbo, vel ex vulnere factus sit cæcus, cæcitatem exprobrabit, sed miserebitur potius: at eum obiurgant omnes, qui ex temulentia, vel alia quapiam intemperantia excæcatus fuerit. atque ita fit, vt vitia corporis, quæ in nostra potestate sunt, vituperentur: quę non sunt, minimè. quòd si ita est, in aliis quoque vitia, quæ reprehenduntur, in no-
B stra erunt potestate. Quòd si quis dixerit: omnes id appetunt, quod bonum esse ipsis videtur: visionis autem dominium habet nemo: sed talis vnicuique finis apparet, qualis quisque est. Verum si vnusquisque habituum sibi quodammodo in causa est, visionis quoque quodammodo erit: sin autem nemo sibi est in causa, vt mala faciat, sed ex ignoratione finis ea agit, ex iísque summum bonum consequuturum
C existimat: appetitio verò finis minimè spontanea est, sed oportet vt vnusquisque idoneus natus sit, habeátque quasi visum, quo rectè valeat discernere, & id quod verè bonum est eligere: sique is est bono ingenio præditus, cui bona hęc naturæ affectio insita est: quòd enim maximum est, & pulcherrimum, quódque ab alio accipere aut discere nullo modo licet, id quale natura est, tale ipse habebit: atque ita
D quidem bene & rectè natura esse affectum ipsa erit perfecta ac vera naturæ habilitas atque aptitudo. Si inquam hæc vera sunt, cur magis virtus quàm vitium sponte acquiratur, non video. vtrinque enim tam bono, quàm malo simili modo finis vel natura vel quomodocunque & apparet, & statuitur: ad quem postea cætera referentes quomodocunque agunt. siue igitur finis non natura vnicuique apparet, qua-
E liscunque is sit, sed aliquid etiam apud ipsum est: siue naturalis quidem finis est, quia tamen reliqua probus vir sponte agit, virtus spontanea est: nihilominus vitium quoque spontaneum sit, necesse est. nam similiter quoque malo in actionibus inest facultas, vt ex sese agat: etiam si in fine non sit. Si ergo quemadmodum dicitur, spontaneæ sunt virtutes: habituum enim coauctores quodammodo nos su-
F mus, ex eóque quòd sumus qualitate quadam affecti talem etiam finem statuimus, vitia quippe quæ simili ratione efficiantur, ipsa etiam spontanea erunt.